καὶ σὲ κινυρομέναν ὁπότ᾽ ἀθρόος ἦλθε δαΐξων
ἤριπεν ἐσχαρίου λάβρον ἐπ᾽ ἄσθμα πυρός.
ὧς θάνεν ἠλιτοεργός· ἴδ᾽ ὡς Ἥφαιστος ἀμύντωρ
τὰν ἀπ᾽ Ἐριχθονίου παιδὸς ἔσωσε γονάν.

## LXIV

ἔκ ποτέ τις φρικτοῖο θεᾶς σεσοβημένος οἴστρῳ,
ῥομβητοὺς δονέων λυσσομανεῖς πλοκάμους,
θηλυχίτων, ἀσκητὸς ἐυσπείροισι κορύμβοις
ἁβρῷ τε στρεπτῶν ἅμματι κεκρυφάλων,
ἴθρις ἀνὴρ κοιλῶπιν ὀρειάδα δύσατο πέτραν
Ζανὸς ἐλαστρηθεὶς γυιοπαγεῖ νιφάδι.
τὸν δὲ μέτα ῥιγητὸς ἐπείσθορε ταυροφόνος θήρ
εἰς τὸν ἑὸν προμολὼν φωλεὸν ἑσπέριος·
ἀθρήσας δ᾽ εἰς φῶτα καὶ εὐτρήτοισιν ἀυτμάν
μυκτῆρσιν βροτέας σαρκὸς ἐρυσσάμενος
ἔστα μὲν βριαροῖσιν ἐπ᾽ ἴχνεσιν, ὄμμα δ᾽ ἑλίξας
βρυχᾶτο σφεδανῶν ὄβριμον ἐκ γενύων·
ἀμφὶ δέ οἱ σμαράγει μὲν ἐναυλιστήριον ἄντρον,
ἄχει δ᾽ ὑλάεις ἀγχινεφὴς σκόπελος.
αὐτὰρ ὁ θαμβήσας φθόγγον βαρὺν ἐκ μὲν ἅπαντα
ἐν στέρνοις ἐάγη θυμὸν ὀρινόμενον·
ἀλλ᾽ ἔμπας ἐρίμυκον ἀπὸ στομάτων ὀλολυγάν
ἧκεν, ἐδίνησεν δ᾽ εὐστροφάλιγγα κόμαν,
χειρὶ δ᾽ ἀνασχόμενος μέγα τύμπανον ἐπλατάγησε
δινωτὸν Ῥείας ὅπλον Ὀλυμπιάδος,